τὰ τῶν τεθνεώτων σώματα ἔκαιον, καὶ τὰ λείψανα τῶν περικαυθέντων διεσώζετο. Σῆμα.] μνημεῖον, τάφος καὶ τύμβος. Θάσσεις.] κάθησαι. Τυμβήρεις ἕδρας.] τῶν τύμβων ἕδρας. Φάρει καλυπτός.] περικεκαλυμμένη, ἠμφιεσμένη τε τῷ φάρει. Φάρος δὲ σημαίνει τὸ ἱμάτιον, καὶ περιβόλαιον, ἀπὸ τοῦ φέρεσθαι. ἢ τῇ ὑφῇ ἀρηρέναι. λέγεται δὲ κυρίως ἐπὶ γυναικός. Συμμίξαι λέχος.] τουτέστι συμμιγνύσθαι καὶ συγγενέσθαι. Πανουργῶν.] ὁ πανούργως προσφερόμενος καὶ πανουργευόμενος. Ἐπὶ κλοπῇ τοῦ χρυσίου.] ἐπὶ τὸ κλέπτειν καὶ ὑφαρπάζειν τὸ χρύσιον. Βαΰζα.] ἐστὶ φωνὴ τοῦ ὑλακτοῦντος καὶ ἀσαφῶς λέγοντος. βαΰζειν γὰρ σημαίνει ὑλακτεῖν καὶ ἀσαφῶς λέγειν. Βάλλουσα ψόγῳ.] ψέγουσα τοὐμὸν σῶμα. Κακορροθοῦσα.] κακολογοῦσα, κακηγοροῦσα, λοιδοροῦσα, ἐνυβρίζουσα. ῥοθιάζειν δὲ κυρίως σημαίνει τὸ ἀθρόως καὶ μετὰ κτύπου φωνῆς ὁρμᾶν, καὶ ἐσθίειν, ἢ διαλέγεσθαί τε, ἢ ποιεῖν τι ἄλλο. λέγεται δὲ καὶ περὶ τῶν ἐρετῶν εὐτόνως ἐρεσσόντων. ῥόθιον γάρ ἐστι τὸ κῦμα μετὰ ψόφου ῥέον καὶ ἤχου ὁρμητικῶς τε καὶ ὀξυρρόπως, παρὰ τὸν ῥόθον τὸν ἐκ τῶν κωπῶν ἀκουόμενον, ὅταν σφοδρῶς ἐλαύνωσι. Γηπλόθεν] ἐκ γήπλου γεγωνυῖα. Ἀνταυγεῖς κόρας.] τουτέστι τὰς ἀντιπροσώπους σου κόρας μοὶ στρέψον καὶ περίστρεψον. Ἀνταυγεῖν γὰρ λέγονται τὰ ἀντίαν αὐγὴν ἀποδιδόντα καὶ ἀνταυγάζοντα, ὥσπερ ἐγράφη παρὰ τῷ Πολυβίῳ, καὶ διὰ ἀνταύγειαν χιόνος καὶ σκληρότητα τῆς ἀναβαλλομένης ἀνακλάσεως ἐφθείροντο, τουτέστι διὰ τὴν λαμπρότητα καὶ ἐναντίαν αὐγὴν ἀντικλασθεῖσαν. καὶ ἀνταυγάζειν λέγεται τὸ ἐναντίον φῶς παρέχειν καὶ παραδιδόναι.

BISETUS. Τίς τῶνδ᾽ ἐρυμνῶν.] Εὐριπίδης, ὡς προείρηται, προσποιούμενος εἶναι Μενέλαος, ὡς ξένος χειμῶνι, καὶ ναυαγίαις πονούμενος προσέρχεται, καὶ ταῦτα λέγει, τίς τῶνδ᾽ ἐρυμνῶν. καὶ τὰ ἑξῆς. ἔστι δὲ ὁ στίχος ἐστὶν ἐν τῇ Εὐριπίδου Ἑλένῃ. ὁ δὲ Μνησίλοχος, ὡς ἤρχετο, τὴν Ἑλένην μιμούμενος, αὐτῷ συνᾴδει, καὶ συμφωνεῖ. καὶ τέλος ἀλλήλους ἀναγνωρίζοντες εἰς ἓν συνέρχονται, καὶ χαρᾶς ἐμπλήρεις διαλέγονται. ἐν τούτῳ δὲ ἡ γυνὴ ἡ τὸν Μνησίλοχον φυλάσσουσα τοὺς αὐτῶν λόγους διακόπτουσα, ψευδολογίας, καὶ φλυαρίας εἶναι φησί. ταῦτα δὲ πάντα προσποιήσεως, καὶ θαυμασμοῦ μεστά, τοῦ τὰς θεσμοφοριαζούσας γυναῖκας ἐξαπατᾶν, καὶ δολίως ἐκ τῆς αὐτῶν φυλακῆς ἐκφεύγειν. πότε δέ, καὶ πῶς ἡ Ἑλένη εἰς Αἴγυπτον ἦλθε, δῆλον ἐκ τῆς Ἑλένης Εὐριπίδου. Ἐρυμνῶν.] Ἡσύχιος. ἐρυμνὸν, ἰσχυρὸν, μέγα, ὑψηλὸν, καὶ ὀχυρόν. οὗ ταχέως οὐδεὶς ἐπιβαίνει. ἢ σκοτεινόν. Πρωτέως τάδε.] ὁ ποιητὴς παίζων πρὸς τὸ Πρωτέως ὄνομα παρεισάγει τὴν γυναῖκα ἐπιφέρουσαν τὸ, Πρωτέας τέθνηκε. καὶ τὸ μὲν εὐθεῖαν ἔχει Πρωτεὺς, τὸ δὲ, Πρωτέας. Εἰσεκέλσαμεν.) εἰσκέλλειν παρὰ τὴν πρόθεσιν εἰς, καὶ τὸ κέλλειν. οὗ ὁ κοινὸς μέλλων, κελῶ, ὡς στέλλω, στελῶ. αἰολικῶς δὲ κέλσω. ὡς φθείρω, φθερῶ, καὶ αἰολικῶς φθέρσω. ὁ ἀόριστος α. ἔκελσα. κέλλειν δὲ κατὰ τὸν Ἡσύχιον, τὸ εἰς γῆν ἐκτιθέναι τὴν ναῦν, καὶ ἐξοκέλλειν. εἰσεκέλσαμεν οὖν, ἐνελιμενίσαμεν, προσωρμίσαμεν. Θεσμοφόρειον τουτοί)

A τουτοὶ Ἀττικῶς ἀντὶ τοῦ τοῦτο. τὸ δὲ Θεσμοφόρειον, ὁ τῆς Θεσμοφόρου Δήμητρος ναὸς, ἐν ᾧ τὰ Θεσμοφόρεια ἐτελεῖτο. οὐδετέρως δὲ λεχθείη, ὡς τὸ Ἡραῖον. ὁ τῆς Ἥρας ναός. Ἠξώπιος.) τὸ πλῆρες, ἢ ἐξώπιος. τουτέστιν ἀπὼν, ἐξώπιος, ὁ ἔξω τοῦ ὠπὸς, ὁ ἔξω τῆς ὄψεως. ὁ πόρρω τῶν ὀφθαλμῶν, καὶ τῆς ὄψεως. τούτῳ δὲ ἐναντίον τὸ ἐνώπιος, ὁ παρὼν, καὶ ἐν ὄψει ὤν. Φάρει καλυπτὸς.) φάρος, ἱμάτιον, περιβόλαιον. ἀπὸ τοῦ φέρεσθαι. ἢ τῇ ὑφῇ ἀρηρέναι. λέγεται δὲ ἐπὶ γυναικός. Σ. Ἄλλως. φᾶρος, μανδυοειδές τι περίβλημα, οὐ διπλοῦν, ἀλλ᾽ ἀναπλόν. καὶ φᾶρος, τὸ ἁπλῶς ὕφασμα, εἴτουν ἱ-

B μάτιον, παρὰ τὸ ὑφῇ ἀρηρέναι, ἢ καὶ προπερισπᾶται διὰ τὴν συναίρεσιν. Εὐστάθιος. εὑρίσκεται μέν τοι καὶ φάρος παροξυτονούμενον, καὶ τὸ φα συστελλόμενον, ὡς παρὰ τῷ Ἀπολλωνίῳ τῶν Ἀργοναυτικῶν Γ.

Λυγαίῃ ἐνὶ νυκτὶ σὺν ὀρφναίοις φαρέεσσι,

τοῦ δὲ προπερισπωμένου παράδειγμα ἔχεις παρ᾽ Ὁμήρῳ. Ιλ. Β.

Ἕζετο δ᾽ ὀρθωθεὶς. μαλακὸν δ᾽ ἔνδυνε χιτῶνα,
Καλὸν, νηγάτεον. περὶ δ᾽ αὖ μέγα βάλλετο φᾶρος.

C Ἀλλαχοῦ δὲ φάρος ου. ἀρσενικῶς, κύριον ὄνομα τοῦ ναυκλήρου τοῦ ἐξελομένου τὴν Ἑλένην ἐκ τῆς Πρωτέως φυλακῆς, πρὸς τὸ ἀποκαταστῆσαι αὐτὴν εἰς Λακεδαίμονα. καὶ νῆσος Αἰγύπτου ἀπ᾽ ἐκείνου ὀνομασθεῖσα, ὅτι ὑπ᾽ ὄφεως δηχθεὶς, καὶ θανὼν ἐν αὐτῇ ἐτάφη. Εὐστάθιος. Ἄλλως, Φάρος, νῆσος ἐν τῇ Ἀδρίᾳ ποταμὸν ὁμώνυμον ἔχουσα. ἔστι δὲ κτίσμα Φαρίων, ὡς Ἔφορος λέγει. ἔστι καὶ πόλις Ἰλλυρίας, ὡς Πολύβιος γ. ἔστι καὶ νῆσος πρὸ τῆς Ἀλεξανδρείας, ἐφ᾽ ᾗ ὁ Σωστράτου τοῦ Δεξιφάνους πύργος, ὁμω-

D νύμως λεγόμενος Φάρος, παρὰ τὸ φαίνεσθαι αὐτὴν πρὸ τῆς Αἰγύπτου. ἢ ἐπὶ τοῦ πυρὸς τοῦ πόρρω τοῖς πλέουσι φαινομένου, ὅτι τοῖς πλέουσι φῶς ἀνάπτειν εἰώθεισαν, ὅπερ καὶ νῦν ἐν πλείστοις τόποις ἐστὶν ἐν χρήσει. σημείωσαι δὲ ὅτι κατὰ τὸ μέγα Ἐτυμολογικὸν, φάρος, εἰ μὲν ἀρσενικῶς, σημαίνει τόπον. εἰ δὲ θηλυκῶς, τὴν πόλιν. εἰ δὲ οὐδετέρως, τὸ ἱμάτιον. Κακορροθοῦσα.] ῥόθος κυρίως ἦχος ὁ ἐκ τῶν κωπῶν ἀκουόμενος. μεταφορικῶς, θόρυβος, καὶ ῥόθιον λέγεται κῦμα τὸ καταταχῦνον τῇ ῥοῇ, καὶ ἁπλῶς τὸ κῦμα, καὶ ἡ σφοδρὰ τῶν κωπῶν κίνησις, παρὰ τὸν ῥόθον τὸν ἐκ

E τῶν κωπῶν ἀκουόμενον. ὅθεν ῥοθεῖν παρὰ τῷ Ἡσυχίῳ, ὁρμᾶν, τρέχειν, λέγειν, διώκειν, καὶ τὸ σύνθετον κακορροθεῖν, κακολογεῖν, καὶ μεθ᾽ ὁρμῆς λοιδορεῖν, καὶ ὑβρίζειν. καὶ ῥοθιάζειν, ἐλαύνειν, ἀπὸ τοῦ ψόφου τῆς εἰρεσίας. οἱ δὲ ἀνακοπὴν τοῦ ὕδατος ῥόθον φασί. καὶ ῥόθιον, ῥεῦμα. κῦμα τὸ μετὰ ψόφου γινόμενον. καὶ ῥόθιον, ταχὺ, ὁρμητικόν. Ἡσύχιος. Θεονόη δὲ τοῦ Πρωτέως, δηλονότι θυγάτηρ. Εἰμὶ Κριτύλλα.) ὁ νοῦς. οὐκ εἰμὶ Θεονόη, ἀλλὰ Κριτύλλα ἡ τοῦ Ἀντιθέου τοῦ Γαργηττίου θυγάτηρ. Ἀντίθεος ἐνταῦθα κύριον ὄνομα, ὡς καὶ τὸ Κριτύλλα. Γαργηττὸς

F δὲ, πόλις καὶ δῆμος τῆς Αἰγηΐδος φυλῆς. ὁ δημότης, Γαργήττιος. καὶ τὸ ἐπίρρημα ἐκ τόπου, Γαργηττόθεν, Στέφανος. Ἀνταυγεῖς κόρας.) τὰς σου κόρας ἀντιπροσώπους μοὶ στρέψον. Σ.

Μν. Αἰσχύνομαί σε τὰς γνάθους ὑβρισμένη.
Εὐ. Τουτὶ τί ἐστιν. ἀφασία τίς τοί μ᾽ ἔχει.
Ὦ θεοί. τίν᾽ ὄψιν εἰσορῶ. τίς εἶ γύναι;
Μν. Σὺ δ᾽ εἶ τίς. αὐτὸς γάρ σε κἀμ᾽ ἔχει λόγος.
Εὐ. Ἑλληνὶς εἶ τίς. ἢ ᾽πιχωρία γυνή;

*MN. Erubesco, te maxillas iniurijs affecta.*
*EV. Hoc quid est? Silentium quoddam ac stupor me habet.*
G *O Dij quamnam faciem video, quaenam es mulier?*
*MN. Tu verò quisnam es? eadem enim te & me habet oratio.*
*EV. Graecanica es aliqua, an indigena mulier?*

Μν. Ἐλ-